eul_wid: sbq-aa

*Ἡλιόδωρος ὁ Ἀλχημιστής καὶ Ποιητής* · Heliodorus the Alchemist and Poet

# Heliodorus to Theodosius the Great-the Mystical Art

## *Ἡλιοδώρου φιλοσόφου πρὸς Θεοδόσιον τὸν μέγαν*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

Σκῆπτρα γέης μέδοντες οἱ πᾶν ἐμφανὲς
μυστιπόλοι ἕποντες ἄκρῳ δακτύλῳ
καὶ πανσόφων ἐπῶν τε τὴν γεῦσιν πᾶσαν
ποθοῦντες ἅψασθαι μὲν ὡς μυούμενοι
ἐγκυκλίου παιδείας ἐννοίας σοφὰς
αἰνιγμάτων τε καὶ προοιμίων λόγων
μαθεῖν σκοπὸν θέλοντες καὶ ἄκρως ἰδεῖν
σοφιστικῶν τε κεκαλυμμένων φράσιν
καὶ γνῶσιν ὧν ἔφησαν οἷα δὴ ἐπῶν,
πάσης τιμῆς κρίνουσιν ἀξίους πέλειν
τοὺς ἐμπόνως φήσαντας αὐτῶν τοὺς πόνους
καὶ δωρεῶν πλείστων τε πάντιμον χάριν
νέμουσι καὶ τιμῶσιν εὐκλεῶς πάλιν
μάλιστα τοὺς ἄγοντας αὐτοῖς γνησίως
ἐννοίας οἷον πρακτικῆς σοφιστικῆς
ἐννοίας ἀρχαίων τε ῥητόρων σοφῶν
ἠσκημένων μύησιν εἰς γνῶσιν πᾶσαν.
ἐπεί συ, θεόστεπτε καὶ σῶφρον μέδων,
ποθήσας ὥσπερ γνῶσιν εἰδέναι, πᾶσαν
ἐπιστήμην καὶ πρᾶξιν ἔμπειρον δέχου
ἔντεχνον ὡς ἔχουσαν εἰσαγωγικὴν
τέλειαν ἐκμάθησιν εἰς δόξαν κλέους,
γυμναστικῆς παιδείας ἔνθεον τέλος
φέρουσαν ἄρρητόν τε κέρδος καὶ κράτος
εἰς ὠφέλειαν καὶ λύπης ἀπαλλαγὴν

τὸν πλοῦτον ἀξίοις τε πέμπουσαν βροτοῖς,
πενίας ἄχθος ἐκδιώκουσαν, βίον
εὐκλείας ἐμπιπλῶσαν ἀλήκτου, φρένας
τέρπουσαν, ἡδύνουσαν εὔνους τῶν φίλων
ἐχθρῶν δὲ τ’ εἰσάγουσαν ἐκ λύπης φθόνου
ἄπαυστον ἄλγος καρδίαις ἕως τέλους.
Σὺ οὖν ἄναξ, πανέμφρον εὐσεβέστατε
ἄγαλμα παιδείας τε θειοείκελον,
πρόσαξον εἰς καθέδραν οἰκειούμενος
παιδευτὰς ἔμφρονάς τε καὶ ἄνδρας σοφοὺς
μύησιν ὡς ἔχοντας ὧν ζητεῖς ἐπῶν.
κλῖνον τὸ οὖς σου θᾶττον ἀκροώμενος
ὁμιλίας τε ὥσπερ ἐξηγήσεως,
τούτων τὰς εὐελπείας ἀσμένως δέχου.
ἄκουε, ὧν λέγουσι μὲν προσρήσεων,
αἰνίγμασι πρόσεχε καὶ τοῖς ῥήμασιν.
οὗτοι γὰρ ὄλβον προσφέρουσί σου βίῳ
κοσμοῦντες εὐπραγείᾳ τῆς βιώσεως,
κράτος σὸν εὐφραίνοντες εὑρήσει λόγων
μύσται σοφισταὶ ὄντες ὡς ἐχέφρονες,
μηδὲν φθονοῦντες τοῖς θέλουσι μανθάνειν
ἐγκειμένην μύησιν αὐτῶν ἐν λόγοις,
ἀλλ’ ἀφθόνως ἁπλοῦντες ἀξίοις ἔπος
κεκρυμμένης ἐννοίας, ὥστε πλουτέειν
καὶ ποιέειν ἄριστον ἐκ πόνων λόγον
καρποὺς θεῷ ἱλασμὸν εἰς ὀφλημάτων.
Πρόσελθε γοῦν, σοφιστά, τοῖς ἐμοῖς λόγοις,
τοῖς ἐμπόνως ῥηθεῖσιν ἐκ πλείστων πόνων,
καὶ νουνεχῶς ἄκουε ῥημάτων πλοκὰς
καὶ συνθέσεις ἐννοίας ὡς μυσταρχικῶς
ἐχούσας εὔληπτον 〈τὴν〉 ἀρρήτων λόγων
ἔκφανσιν εὔγνωστόν τε τοῖς φιλεμπόνως
ζητοῦσι καὶ πονοῦσι νυκτὸς ἡμέρας
μυσταρχικῆς τέχνης τε θείας ἱερᾶς
τεχνουργίας τὴν πεῖραν ἐκ θείας ῥοπῆς
ἄριστον ἐκπληροῦσαν ἀρχὴν καὶ τέλος.
οὕτως πρόσεστί μοι γὰρ ἄρξασθαι λέγειν
ἀρχὴν λόγου. πάρειμι δ’ ὁ σκοπῶν ἔπος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τεύξεται τὴν σύνταξιν ἐξ εἴδους ἑνὸς
φέροντος εἰς δήλωσιν ὡς οὐκ ἄλλοθεν,
ἀλλ’ ἐκ μιᾶς 〈γε〉 φύτλης τὸ κοσμούμενον
τῆς ἐκθεούσης ἐκ θαλάσσης εἰς θέαν
βασταζομένης ὥσπερ ἀτμὸς εἰς νέφος,
ὑγροῦ τε θερμοῦ [τῇ] ἑνώσει καὶ συμπλοκῇ,
ἑνουμένων ἀμφοῖν μὲν εἰς μίαν κρᾶσιν,
ταύτης φυλαττούσης δὲ τῶν ἄμφω γένος.
τοῦ ἄρρενος πρὸς θῆλυ καὶ τερπομένων
ζεύξει τελούντων εἶδος ἀλλοῖον θέας,
γαλακτίτου πυρροῦ τε γεννᾶται γόνος.
συλλαμβάνουσα μὲν βρέφος συνουσίας
ἐξ ἄρρενος θήλεια τίκτουσα κλέους
τέρας βροτοῖσι, πλῆρες ὄλβου καὶ κράτους.
ἄγει ξένον πάμπλουτον ἠγαπημένον,
ποθούμενον φιλητὸν ὡς ζητούμενον
καὶ μηδ’ ὅλως τῇ πείρᾳ τοῖς ἀναξίοις
ἔκφαινον αὐτοῦ [τὴν] ὄψιν, ἀλλ’ οὕτως μένει
κρυπτὸν πρόσωπον γαστρὸς ἐντὸς μητέρος.
τῇ λευκότητι τῆς δὲ φαιδρᾶς οὐσίης
θησαυρὸς ὡς ποικιλτὸς ἐκφεύγει χεροῖν
ἁφήν, ὁρᾶν δὲ κάλλος οὐδεὶς ἰσχύει
ἐν κοιλίῃ τῆς μητρὸς, ἀλλ’ αὐτὸς βοᾷ·
Πάρειμι τοῖς ζητοῦσιν ἐν μέσῳ πέλων,
ὁρῶντες ἀγνοοῦσιν, ὅνπερ τοῖς κόποις
ζητοῦσι καὶ μοχθοῦσιν ὡς πλανώμενοι
ἐκεῖσε, ὧδε ἀσχολοῦνται εἰς κενόν.
ἐγὼ δὲ ὡς ὑπουργὸς ἠτιμωμένος
δοῦλός τε πάντων οὐδαμοῦ ἀφίσταμαι.
κτηνῶν γάρ εἰμι δοῦλος, εὑρήσεις δέ με,
ὅπου δ’ ἂν οἰκήσωσιν ἄνθρωποι ὅλως,
μὴ οὖν πορευθεὶς μακρὰν ἐκτέμνων ὁδόν.
οὐ γὰρ πέλω εἰς πόντον, εἰ ἐκεῖσε μὲν
ἐκ τῆς θαλάσσης εἰς νέφος εὑρίσκομαι.
βαίνω γὰρ ὥσπερ ἀτμὸς ἐκ πόντου μέσου
νέφη ἔχων χιτῶνα καὶ καλύπτομαι
σκότει ὁμίχλης καὶ μέλανσίς με σκέπει.
ἀνέρχομαι δὲ καπνὸς ὡς λεπτὸς πάνυ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀὴρ ἔχει με κρύπτων ἐν αὐτῷ ὅλον.
εὑρίσκομαι δ’ ἔκλαμπρος, ἔκστιλβος λίαν,
πλύσει ὅτ’ [ἂν] ἐκπλυνεῖς με 〈καὶ〉 θείῳ πυρὶ
ἕψων παροπτῶν καὶ ὕδωρ τὸ πόντιον
μέτρῳ χέων μου εἰς πρόσωπον αὖ πάλιν,
διχῶς μερίζομαι γὰρ εἰς τρεῖς γίνομαι
κάτω ἄνω τε πατρὶ καὶ τῇ τεξάσῃ.
αὕτη με λευκὴ γεννᾷ τῶν σπλάγχνων μέσον,
πατὴρ δ’ ὁ φύσας πύρρος ἐξελεύσεται
θνήσκων βίου· ἐγὼ γὰρ αὐτὸν ὡς φονεὺς
κτείνω ἐῶν ἔξοικον ὀρφανὸν πάλιν
ὕλης, ἐν ᾗ ὑπῆρχεν, ἴχνος μὴ φέρειν.
λαβὼν δ’ ἀπ’ αὐτοῦ σθένος εὑρεθήσομαι
κρεῖττον ἔχων τὴν σφῶν τε μορφὴν εἰκόνος
ξανθὸν φέρων τὸ εἶδος, ἀλλὰ πρὸς βραχὺ
ὀφθήσομαι μέλας δὲ ποικιλόχρωμος
βρύων χρυσόσπερμόν τε καὶ χρυσόζωμον,
ὃ καὶ χρύσανθον εἶδος [ἐκ] μετάλλου χρυσῆς
ποικιλόμορφον ὠχρὸν ἀργυρόχρυσον
χρυσάργυρον ξανθόχρουν αὖθις πόρφυρον.
ὡς κιτρινοπράσιόν τε πυρ[ρ]οφεγγίτης
χρυσοῦ κόραλλός εἰμι ταύτας ἐκφέρων
τὰς χροιὰς ἄνθη πάντα καὶ χλοηφορῶ.
ὅταν δὲ ἴδῃς ταύτας εἰς τὸ ἐμφανὲς
μορφῆς ἐμῆς τὰς χροιὰς ἐκμορφουμένας,
πρόσελθε γεννηθέντι παιδίῳ νέῳ
ἐμοὶ μελάνσει ὄντι ὡς κεκρυμμένῳ
σκότει ἀφαύστῳ οἷα καὶ τῇ ἀχλύϊ,
ἀλλ’ ἔνδον ἐκστίλβοντι καὶ κεκασμένῳ.
γάλακτι ἐκθήλαζε μασθῶν μητρῴων
θηλῆς ἀμέλγων γάλακτος πότιζέ με,
θρέψον με μικρὰ μικρά· νήπιος πέλω,
ἕως ἂν ἔλθῃ ἰσχὺς ἐκτρέφουσά με,
ἄγουσα εἰς ἀνδρεῖον εὖ ῥυθμὸν μελῶν,
εἰς σχῆμα δ’ αὖ τέλειον εὔμορφον πάνυ.
ἐγὼ γὰρ ἁδρυνθεὶς μὲν λεπτυνθήσομαι,
τραφεὶς λίαν ξιφικῶς ἀκμάσω νέος
τῇ ποιότητι τεσσάρων τῶν στοχείων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἐν νέφει ὡς λεπτὸς ἀτμὸς ἵζομαι.
ἀὴρ γὰρ εἰς κόλπους με θάλπων βαστάσει,
ἔνδον δέ μου ἔχων πῦρ ὑψωθήσομαι,
ἀρθεὶς ἕως εἰς ὕψος ὄμβρος ἔσομαι,
οἵη τε γέα ξηρὰ θεῖόν μου νᾶμα
φύτλης ἐμῆς γεννηθέν, ὥσθ’ ὑπερφυῶς
τῶν στοιχείων τὴν ποιὰν εὐκρατῶς ἔχειν
κατακλύσαι ἀρδείᾳ γῆν, ἐκβλαστάνειν
χλοηφόρους παντοίας ἀνθῶν ἰδέας.
πυκνούμενος γὰρ ἀτμὸς ἐκ γῆς εἰς νέφος
ἐξ ὑγρᾶς οὐσίας τε θᾶττον γίνεται
ὕδωρ βρέχον τὴν γαῖαν, [ἐκ] βλαστάνει γένη
τῶν ἀνθέων παντοῖα καὶ καρποφορεῖ.
οὕτως γὰρ ἡ τῆς ξηρᾶς ἐκλυθήσεται
φύσις πρὸς ὑγρὰν ἐκρέουσα καὶ νᾶμα
ὑπερφυῶς εἰς θεῖον ἐκτραπήσεται
καὶ τὴν μέλανσιν λευκότητα ποιέει.
αὕτη γὰρ ἡ λεύκωσίς ἐστι δευτέρα,
ἥνπερ ποθοῦσι τῶν σοφῶν ἀνδρῶν γόνος
ἰδεῖν, ὅταν μέλανσις ἐκ γαίας τραφῇ
τῆς ὥσπερ οὔσης νεκρᾶς ἐξ ὕλης πάχους
εἰς φαιδρὸν ὄμμα λευκότητος ὡς χιὼν
τὸ θεῖον ἐκβλύζουσα νέκταρ ἐκ μέσου
τῆς γαίας ὡς φέρουσα τὸ ζητούμενον
ἀφροσελήνης ξανθὸν ἐντὸς γαστέρος.
τὸ κάλλος ἐξαστράπτον αὐγὰς ἐκφέρει,
λευκὴν μὲν ὄψιν δεικνὺς ἔκστιλβον πάνυ
χρυσάνθιον κόραλλον ἀλλ’ ἀσώματον
εὐειδὲς εὐέκλαμπρον ἀστραπήχροον
ζώνας χρυσιζούσας τε καὶ χλοηφόρους,
πέμπον σέλας καὶ λάμψιν αὖθις ἡλίου
λεύκωσιν ὡς κάλυμμα ἔξωθεν φέρον,
ἔνδον δὲ τοῖς βλέπουσιν ὥσπερ πυρφόρος
λαμπτὴρ φλογηφόρος τε φεγγίτης μέγας
τὰς τῶν λίθων ποικίλας ἐκπέμπων χροὰς,
ὡς ἄμπελον χλωρὸν μὲν εἶδος τῶν φύλλων
ὡραῖον εὐειδὲς μὲν ἄνθος βλαστάνων,
ἐκ τετтάρων κλάδων δὲ συνηνωμένων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁμοῦ μίαν πρὸς ῥίζαν εὔκαρπον φέρειν
πέπειρον ἀρδευθέντα βότρυν ὡς μέλι
τὴν ποιότητα γεύσεως κεκτημένον
λευκὸν πάνυ πρόσχημα καὶ μορφὴν ἔχει.
οὗτος δὲ λευκὸς βότρυς εὐθαλὴς πέλων
λειούμενος ταῖς χερσὶν οἶνον βλυστάνει
πυρρὸν μὲν ὥσπερ αἷμα, γεύσει εὔκρατον,
εὔοσμον, ἐξ οὗ βάπτεται ἡ πορφύρα
τῇ κογχύλῃ μιχθεῖσα πόντου ἐκ μέσου,
ἐρυθρά. ὥσπερ ἀτμὸς εἰς νέφος θέ[σ]ει,
ἀνέρχεται γὰρ ἐκ θαλάσσης ἐκφᾶναι
νυμφοστολούσης παρθένου φαιδρὸν γάλα
βρέφους νέου τεχθέντος εἰς διατροφήν.
ἁδρυνθὲν ἔσται γὰρ τεκούσῃ 〈σύ〉ζυγος,
ζευχθεὶς δὲ ταύτῃ αὖθις ὡς νικηφόρος
ὀφθήσεται τὸ θῆλυ ἐκκαλούμενος
πρὸς συμπλοκῆς ἕνωσιν εἰς συνουσίαν.
ταύτης ἑνωθείσης δὲ φαιδρῶς ἄρρενι
πρὸς δευτέραν πλοκήν τε καὶ μῖξιν πάλιν
ἔσται ὅλως ἔκστιλβος, ἀχλὺν τοῦ σκότους,
ὕλην γεώδη ἐκβάλλουσα εἰς τέλος
καὶ μίγνυται εἰς ζεῦξιν, οὐκ ἀφίσταται
τῇ δευτέρᾳ πλοκῇ τε θᾶττον ἐκτελεῖ
πρώτης κλειδὸς πλήρωσιν ὡς καὶ τὸ στέφος
λευκώσεως πληροῦσα ἔργον δευτέρας
χρῄζουσα μηδὲν εἰς τελείωσιν πάλιν
τὸ σῶμα λευκαίνειν πᾶν, οἷον καὶ θέλει,
τῶν τεσσάρων βάπτουσα σωμάτων φύσιν,
λευκὴν φέρουσα καὶ διώκουσα σκότος
τὸ ἐμφωλεῦον ὡς κάλυμμα ἀχλύος
ἔκστιλβον ἔκλαμπρόν τε δείκνυσι, πλέον
φωτὸς σελήνης ταῦτα λευκαίνει ὅλα
νικῶντα λευκότητι λεύκωσιν πᾶσαν.
ἑξῆς τε δευτέρα κλεὶς ἄρχεται πάλιν
ξανθώσεως λεύκωσιν εἰς ξανθὸν φέρειν
ξανθόν τε δεικνύουσα τῆς μορφῆς ὅλον.
ἐργάζεται γὰρ αὖθις ὥσπερ καὶ πάλαι.
οὕτως γὰρ ἡ ξάνθωσις εἰς πέρας φέρει

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄριστον ἐκπλήρωμα κεκοσμημένον
πληρουμένων τῶν βαθμῶν εἱρμὸν καὶ τέλος.
ὥσπερ γὰρ ἡ λεύκωσις οὕτως γίνεται
ξανθώσεως τὸ ἔργον ἐκπληρούμενον,
εἰς κέρδος ὄλβιόν τε τὸν κόπον φέρει
καὶ χαρμονὴν πάμπλουτον, ἐξάγει κόπους,
πάροιθεν οὓς ἔσπειρας, ὥστε πλουσίως
τῶν δραγμάτων πλέον μὲν ἐκφέρειν φόρους
καὶ δεικνύει τὸν μισθὸν εὐφραδέστατον
εἰς ἐκβολὴν πενίας αὖθις εὕρεσιν
πλούτου τε καὶ ὄνησιν ἔνθεον βίῳ.
οὕτω γὰρ εὐπραγοῦντες ὀφθῶμεν σοφοὶ
χρῄζοντες ὧδε μηδὲν ἔκ τινος βροτοῦ,
μὴ ἀσχολούμενοι δὲ πάμπαν ἐν βίῳ,
ἀλλ’ ἢ θεῷ λατρείας αἶνον προσφέρειν,
στέργειν ποθεῖν τε τρυφὴν ἡτοιμασμένην
ἄπονον χαρὰν καὶ δόξαν, ἔνθεον χάριν,
πτωχοῖς νέμειν δέοντα καὶ πάντας θέλειν
σώζειν τε καὶ λύτρωσιν ἐξ ὀργῆς νέμειν
καὶ χεῖρα συμπαθείας ἐκιείνειν πᾶσιν
καὶ εὐπραγεῖν καὶ μηδὲν ἔκφαυλον λέγειν
ἢ τεκταίνεσθαι σκάνδαλόν τι εἰς πέλας,
ἀλλ’ εὐφρονεῖν εἰς πάντας εὐπροσηγόρους
εἶναι θέλοντας, κλῆρον ὄλβιον μέγαν
ζωῆς ἔχειν μιμητὰς ἔργοις ἐνθέοις
τοῦ δεσπότου Χριστοῖο θείῳ ἐν λόγῳ
πράξει τε φωσφοροῦντας εἶναι ὡς σέλας,
μηδὲν λέγειν εἰς πρᾶξιν, ἀλλ’ ἐπιφρονεῖν,
πένητας εὐποιΐᾳ συμπαθεῖν, ὅπως
τὸν πλοῦτον ἐκκενοῦντες εἰς αὐτοὺς ῥᾷον
εὕρωμεν ἔργων μισθὸν ἡτοιμασμένον
ἐντεῦθεν ἐκδημοῦντες ὡς ἄνδρες σοφοί.
οὗτος γάρ ἐστιν εὐσεβείας ἔνθεος
ἀγὼν πόθος τε θερμὸς εἰς θεότροπον
ζῆλον τελούμενος ἀνδρείᾳ 〈τῶν〉 φρενῶν
καὶ σώματος κάθαρσις ὥσπερ καὶ ψυχῆς.
οὕτως γὰρ εὐπραγοῦντες ἀξιόκλεοι
ἐσόμεθα πρὸς Χριστὸν ὡς καὶ τῷ στέφει

Eulogikon public reading copy · View original HTML at eulogikon.org

στεφηφοροῦντες αὖθις ἐσθλῶν πράξεων
σκηπτουχίας τῶν κλήρων ἀξιούμεθα
ἐκλάμψεως εἰς δόξαν αἴγλης καὶ φάους
τιμῆς σέβας εὔκλειαν εὐσεβεστάτοις
ἄναξι πιστοῖς προσφέροντες ἐντίμως
τοῖς τὸ κράτος καὶ σκῆπτρα γῆς πιστουμένοις,
ὡς χριστολάτραις οὖσι δόξης ἐμπλέοις,
ὑμνοῦντες εὐλογοῦντες αἰνοῦντες θεὸν
ὑπέρθεον, τὸν φωτὸς ὄντα αἴτιον,
ζωῆς χορηγὸν καὶ θέλοντα τοὺς βροτοὺς
λύτρωσιν εὑρεῖν ὥσπερ ἀμπλακημάτων,
οὕτως τυχεῖν μέλλουσαν εὔκλειαν πάλιν,
καὶ προσφέρειν λατρείαν αὐτῷ τῷ μόνῳ
θεῷ λόγῳ σὺν πατρὶ θείῳ πνεύματι
εἰς κυκλικοὺς αἰῶνας αἰώνων ἀμήν.
στίχοι σξη′.

Eulogikon public reading copy · View original HTML at eulogikon.org